# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: iqg-aa

*Σωσίθεος ὁ Ἀλεξανδρεὺς Τρωάδης* · Sositheus of Alexandria Troas

## Fragments on the Glutton of Celaenae

*Ἀποσπάσματα περὶ τοῦ Γάστρονος τῆς Κελαινῶν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [ln_1]εἷς μυρίους ὄρνιθας αἰετὸς
book 1.2 σοβεῖ λαῶν
book 1.3 τε δειλῶν
book 1.4 πλῆθος εὖ τραφεὶς ἀνήρ
book 2.1 τούτῳ Κελαιναὶ πατρίς, ἀρχαία πόλις Μίδου γέροντος, ὅστις ὦτ᾽ ἔχων ὄνου ἤνασσε καὶ νοῦν
book 2.2 φωτὸς εὐήθους ἄγαν. οὗτος δ᾽ ἐκείνου
book 2.3 παῖς
book 2.4 παράπλαστος νόθος,[ln_5]μητρὸς δ᾽ ὁποίας ἡ τεκοῦς᾽ ἐπίσταται, ἔσθει μὲν ἄρτους, τρεῖς ὅλους κανθηλίους, τρὶς τῆς βραχείας ἡμέρας· πίνει δ᾽, ἕνα καλῶν μετρητήν, τὸν δεκάμφορον πίθον. ἐργάζεται δ᾽ ἐλαφρὰ πρὸς τὰ σιτία[ln_10]ὄγμον θερίζων· τῇ μιᾷ δ᾽ ἐν ἡμέρᾳ δαινυσίτ᾽ ἔμπης
book 2.5 συντίθησιν εἰς τέλος. χὤταν
book 2.6 τις ἔλθῃ ξεῖνος ἢ παρεξίῃ, φαγεῖν τ᾽ ἔδωκεν εὖ κἀπεχόρτασεν καὶ τοῦ ποτοῦ προὔτεινεν ὡς ἂν ἐν θέρει[ln_15]πλέον· φθονεῖν γὰρ
book 2.7 τοῖς θανουμένοις ὀκνεῖ. ἐπιστατῶν οἴδηα Μαιάνδρου ῥοαῖς καρπευμάτων ἀρδευτὰ δαψιλεῖ ποτῷ τὸν ἀνδρομήκη
book 2.8 πυρὸν ἠκονημένῃ ἅρπῃ θερίζει· τὸν ξένον δὲ δράγματι[ln_20]αὐτῷ κολούσας κρατὸς ὀρφανὸν φέρει
book 2 γελῶν θεριστὴν ὡς ἄνουν ἠρίστισεν
book 3.1 θανὼν μὲν οὖν Μαίανδρον ἐρρίφη
book 3.2 ποδός σόλος
book 3.3 τις ὥσπερ {δίσκος}· ἦν δ᾽ ὁ δισκεύσας ἀνήρ πυθιο· τίς γὰρ ἀνθ᾽ Ἡρακλέους;
book 4 [ln_1]οὓς ἡ Κλεάνθους μωρία βοηλατεῖ